ἀρχὴν εἶναι καὶ μεσότητα καὶ τέλος.
τὸ δὲ ἀγαθὸν, ἀμήχανον ἐνεργεῖσθαι ἢ πι-
στεύεσθαι εἰ μὴ ἐν χριστῷ ἰησοῦ καὶ ἁγίῳ πνεύματι:
γ Πᾶν ἀγαθὸν, οἰκονομικῶς παρὰ κυρίου δέδο-
ται· καὶ ὁ οὕτως πιστεύων οὐκ ἀπολέσει αὐτό:
δ Ἡ βεβαία πίστις, πύργος ἐστὶν ἰσχυρός· χριστὸς
δὲ τὰ πάντα, τῷ πιστεύοντι γίνεται:
ε Κατάρχέτω πάσης σου προθέσεως ὁ κατάρ-
χων παντὸς ἀγαθοῦ· ὅπως κατὰ θεὸν γένηται τὸ προ-
κείμενον: ϛ Ὁ ταπεινόφρων καὶ ὀρθῶς συνέ-
χων τὸν νοῦν, ἀναγινώσκων τὰς θείας γρα-
φάς, πάντα εἰς ἑαυτὸν νοήσει καὶ οὐκ εἰς ἕτερον:
ζ Ἐπικαλοῦ τὸν θεόν, ἵνα ἀνοίξῃ τοὺς ὀφθαλ-
μοὺς τῆς καρδίας σου· καὶ ἴδῃς τὴν ὠφέλειαν
τῆς προσευχῆς καὶ τῆς ἀναγνώσεως:
η Ὁ ἔχων τι χάρισμα πνευματικόν, καὶ συμπα-
σχων τοῖς μὴ ἔχουσι, διὰ τῆς συμπαθείας
φυλάττει τὸ δώρημα· ὁ δὲ ἀλαζὼν
ἀπολέσει αὐτό· τοῖς τῆς ἀλαζονείας
λογισμοῖς περικρουόμενος: